ΑΚΟΛΟΥΘΙΑ

ΕΙΣ ΤΗΝ ΣΥΝΑΞΙΝ ΤΗΣ ΙΕΡΑΣ ΚΑΙ ΘΕΟΜΗΤΟΡΙΚΗΣ ΕΙΚΟΝΟΣ ΤΗΣ ΕΝ ΤΩ ΠΥΡΣΩ Ή ΠΡΟΥΣΩ,

(Παναγίας Προυσιωτίσσης)

Συλλεχθεῖσα μέν παρά τινος ἀδελφοῦ ἡσυχάζοντος ἐν τῷ Ἁγίῳ Ὄρει, ἀναθεωρηθεῖσα δέ, ἐπιδιορθωθεῖσα καί ἀξία τύποις ἐκδοθῆναι κριθεῖσα παρά τε τοῦ Παναγιωτάτου πρώην Οἰκουμενικοῦ Πατριάρχου Γρηγορίου τοῦ Ε᾽ καί παρ᾽ἄλλων ἐλλογίμων ἀνδρῶν.

Ἔκδοσις Ἱερᾶς Μονῆς Παναγίας Προυσιωτίσσης, 1994 Αὐγούστου κβ᾽

23-08- ΟΡΘΡΟΣ

† ΠΑΝΑΓΙΑΣ ΠΡΟΥΣΙΩΤΙΣΣΗΣ

† Μνήμη τοῦ Ἁγίου Μάρτυρος Ἀγαθονίκου.

Μετά τόν Ἑξάψαλμον,

Συναπτὴ μεγάλη, μεθ᾽ἣν ἐκφώνησις·

Ὅτι πρέπει σοι πᾶσα δόξα...

Ἦχος α´

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ, α´. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τόν αἰῶνα τό ἔλεος αὐτοῦ.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ, β´. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ, γ´. Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Ἀπολυτίκιον Ἦχος α´

Ἐν τῇ Γεννήσει τὴν παρθενίαν ἐφύλαξας, ἐν τῇ Κοιμήσει τὸν κόσμον οὐ κατέλιπες Θεοτόκε. Μετέστης πρὸς τὴν ζωήν, μήτηρ ὑπάρχουσα τῆς ζωῆς, καὶ ταῖς πρεσβείαις ταῖς σαῖς λυτρουμένη, ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον

Ἦχος α´ Τῆς Συνόδου τῆς πρώτης.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίω Πνεύματι.

Της Ελλάδος απάσης συ προΐστασαι πρόμαχος και τερατουργός εξαισίων τη εκ Προύσης Εικόνι σου. Πανάχραντε Παρθένε Μαριάμ, και γαρ φωτίζεις εν τάχει τους τυφλούς, δεινούς τε απελαύνεις δαίμονας, και παραλύτους δε συσφίγγεις αγαθή, κρημνών τε σώζεις και πάσης βλάβης τους σοι προστρέχοντας· δόξα τω σω ασπόρω τοκετώ, δόξα τω σε θαυμαστώσαντι, δόξα τω ενεργούντι δια σου τοιαύτα θαύματα. (δις).

Ἀπολυτίκιον Ἦχος α´

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἐν τῇ Γεννήσει τὴν παρθενίαν ἐφύλαξας, ἐν τῇ Κοιμήσει τὸν κόσμον οὐ κατέλιπες Θεοτόκε. Μετέστης πρὸς τὴν ζωήν, μήτηρ ὑπάρχουσα τῆς ζωῆς, καὶ ταῖς πρεσβείαις ταῖς σαῖς λυτρουμένη, ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις:

Ὅτι σὸν τὸ κράτος...

Καθίσματα

Μετά τήν α᾽ στιχολογίαν,

Ἦχος δ´. Κατεπλάγη Ιωσήφ.

Κατεπλάγη η Ελλάς, και Αιτωλία επί σοι, Θεογεννήτορ Μαριάμ, ορώσα ξένα και φρικτά, και γαρ αιρέσεως κακόνοιαν μυσαχθείσα, Προύσης εκ της πόλεως ήγαγες, ταύταις βοηθόν την Εικόναν σου, ας διατήρει Δέσποινα, συν πάση τη ευσεβεί πολιτεία σου˙ εξ ορατών τε, και αοράτων, δυσμενών ικεσίαις σου.

Δόξα. Τὸ αὐτὸ

Καὶ νῦν. τῆς εορτῆς.

Ἦχος δ' Κατεπλάγη Ἰωσὴφ

Ἀναβόησον Δαυΐδ, τὶς ἡ παροῦσα Ἑορτή; Ἣν ἀνύμνησα φησίν, ἐν τῷ βιβλίῳ τῶν Ψαλμῶν, ὡς θυγατέρα θεόπαιδα καὶ Παρθένον, μετέστησεν αὐτήν, πρὸς τὰς ἐκεῖθεν μονάς, Χριστὸς ὁ ἐξ αὐτῆς, ἄνευ σπορᾶς γεννηθείς· καὶ διὰ τοῦτο χαίρουσι, μητέρες καὶ θυγατέρες καὶ νύμφαι Χριστοῦ, βοῶσαι· Χαῖρε, ἡ μεταστᾶσα πρὸς τὰ ἄνω βασίλεια.

Μετά την β' στιχολογίαν˙

Ἦχος δ'. Κατεπλάγη Ιωσήφ.

Καταπλήττονται Αγνή, πάντων αγγέλων οι χοροί, καθορώντες την πολλήν και υπεράγαθον σπουδήν˙ ην προς ημάς τους σους δούλους επιδεικνύεις˙ ρεύματα και γαρ περιχέονται˙ θείων ιαμάτων τοις πάσχουσιν, εκ της μορφής του τύπου σου ήν Κόρη, εν τω σπηλαίω υπέδειξας˙ και μαρτυρούσιν οι πειρασθέντες, αληθώς και σε μέλπουσιν.

Δόξα. Τὸ αὐτὸ

Καὶ νῦν. τῆς εορτῆς.

Ἦχος α' Τὸν τάφον σου Σωτὴρ

Ὁ πάντιμος χορός, τῶν σοφῶν Ἀποστόλων, ἠθροίσθη θαυμαστῶς, τοῦ κηδεῦσαι ἐνδόξως, τὸ σῶμά σου τὸ ἄχραντον, Θεοτόκε Πανύμνητε, οἷς συνύμνησαν, καὶ τῶν Ἀγγέλων τὰ πλήθη, τὴν Μετάστασιν, τὴν σὴν σεπτῶς εὐφημοῦντες, ἣν πίστει ἑορτάζομεν.

Μετά τον πολυέλεον,

Ἦχος πλ. δ'.

Το προσταχθέν μυστικώς.

Αγαλλιάσθω η Ελλάς συν Αιτωλία, και χορευέτωσαν φαιδρά τη πανηγύρει, της Εικόνος σήμερον της Προυσιωτίσσης, Παρθένου, της προστασίας πάντων πιστών, πηγήν θαυμάτων ευρούσαι ταύτην πολλών, εν δεινοίς τε εκλύτρωσιν, και φωτοδότιν τυφλοίς, και λύσιν της στειρώσεως, και εχθρών αμυντήριον.

Δόξα. Τὸ αὐτὸ

Καὶ νῦν. τῆς εορτῆς.

Ἦχος γ' Τὴν ὡραιότητα

Ἐν τῇ Γεννήσει σου, σύλληψις ἄσπορος, ἐν τῇ Κοιμήσει σου, νέκρωσις ἄφθορος, θαῦμα ἐν θαύματι διπλοῦν, συνέδραμε Θεοτόκε· πῶς γὰρ ἡ ἀπείρανδρος, βρεφοτρόφος ἁγνεύουσα; πῶς δὲ ἡ μητρόθεος, νεκροφόρος μυρίζουσα; Διὸ σὺν τῷ Ἀγγέλῳ βοῶμέν σοι· Χαῖρε ἡ Κεχαριτωμένη.

ΑΝΑΒΑΘΜΟΙ, ΠΡΟΚΕΙΜΕΝΟΝ

Οἱ Ἀναβαθμοί·

τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου.

Ἀντίφωνον Α΄.

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη· ἀλλ᾽ αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου. (δίς)

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμένοι. (δίς)

Δόξα.

Ἁγίῳ Πνεύματι πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται, λαμπρύνεται, τῇ τριαδικῇ μονάδι ἱεροκρυφίως.

Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τὴν κτίσιν πρὸς ζωογονίαν.

Προκείμενον.

Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ. (δίς)

Στίχ. Ἄκουσον, Θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου καὶ ἐπιθυμήσει ὁ Βασιλεὺς τοῦ κάλλους σου.

Τοῦ ὀνόματός σου μνησθήσομαι ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.

ΤΑΞΙΣ ΕΥΑΓΓΕΛΙΟΥ ΟΡΘΡΟΥ

Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ἐλέησον.

Ὁ ἱερεύς· Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, ...

Ἀμήν.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Στίχος· Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς Ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Ὁ διάκονος· Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.

Κύριε, ἐλέησον. (γ΄)

Ὁ διάκονος· Σοφία· ὀρθοί· ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

Ὁ ἱερεύς· Εἰρήνη πᾶσι.

Καὶ τῷ Πνεύματί σου.

Ὁ ἱερεύς· Ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα. (α΄39-49, 56).

Ὁ διάκονος· Πρόσχωμεν.

Δόξα σοι, Κύριε, δόξα σοι.

Ὁ ἱερεὺς ἀπὸ τῶν βημοθύρων ἀναγινώσκει τὸ Εὐαγγέλιον τοῦ Ὄρθρου.

Ἐν ταῖς ἡμέραις ἐκείναις, ἀναστᾶσα Μαριάμ, ἐπορεύθη εἰς τὴν ὀρεινὴν μετὰ σπουδῆς, εἰς πόλιν Ἰούδα· καὶ εἰσῆλθεν εἰς τὸν οἶκον Ζαχαρίου, καὶ ἠσπάσατο τὴν Ἐλισάβετ. Καὶ ἐγένετο, ὡς ἤκουσεν ἡ Ἐλισάβετ τὸν ἀσπασμὸν τῆς Μαρίας, ἐσκίρτησε τὸ βρέφος ἐν τῇ κοιλίᾳ αὐτῆς· καὶ ἐπλήσθη Πνεύματος Ἁγίου ἡ Ἐλισάβετ, καὶ ἀνεφώνησε φωνῇ μεγάλῃ, καὶ εἶπεν· Εὐλογημένη σὺ ἐν γυναιξὶ καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου. Καὶ πόθεν μοι τοῦτο, ἵνα ἔλθῃ ἡ μήτηρ τοῦ Κυρίου μου πρός με; Ἰδοὺ γάρ, ὡς ἐγένετο ἡ φωνὴ τοῦ ἀσπασμοῦ σου εἰς τὰ ὦτά μου, ἐσκίρτησε τὸ βρέφος ἐν ἀγαλλιάσει ἐν τῇ κοιλίᾳ μου. Καὶ μακαρία ἡ πιστεύσασα, ὅτι ἔσται τελείωσις τοῖς λελαλημένοις αὐτῇ παρὰ Κυρίου. Καὶ εἶπε Μαριάμ·

Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί. Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ. Ἔμεινε δὲ Μαριὰμ σὺν αὐτῇ ὡσεὶ μῆνας τρεῖς, καὶ ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς.

Δόξα σοι, Κύριε, δόξα σοι.

*Ὁ Προεστὼς ἢ ὁ Ἀναγνώστης τὸν Ν΄ ψαλμόν, χύμα.*

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος των οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διὰ παντὸς.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμα σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.

Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεὸς, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν ἔδωκα ἂν ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον΄ καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Δόξα.

Ταῖς τῆς Θεοτόκου πρεσβείαις, ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.

Ταῖς τῆς Παναχράντου πρεσβείαις, ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Εἶτα τὸ πεντηκοστάριον στιχηρὸν ἰδιόμελον. Ἦχος β΄.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Στιχηρὸν Ἰδιόμελον Ἦχος β΄

Ιδού άχραντε Παρθένε, προσήλθον τα τέκνα σου, ως αγέλαι των αιγών ίν' είπωμεν τα του άσματος, αι ανεφάνησαν από του Γαλαάδ, θερμή τη πίστει, το σον είδος καταπροσκυνήσαι˙ χαρίτωσον τοίνυν και αυτή αυτούς, καθώς και ημείς δυσωπούμέν σε οι σοι θιασώται˙ έκχεε επ' αυτούς τα ελέη σου˙ και εκπλήρωσον αυτών τα αιτήματα, ο μεν γαρ ασθένειαν προβάλλεται˙ ο δε πενίαν θρηνεί˙ άλλος παρ' άλλων, επαγωγήν τε και αδικίαν˙ σώζε ουν πάντας εκ πάντων τούτων, ως του Παντοδυνάμου Μήτηρ, και αυτή τα πάντα δυναμένη, όπως πάντοτε, δοξάζηται παρά πάντων, το όνομά σου το πανάγιον.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου...

Κύριε, ἐλέησον (ιβ΄).

Ἐλέει καὶ οἰκτιρμοῖς...

Ἀμήν.

ΟΙ ΚΑΝΟΝΕΣ

Εἶτα ψάλλονται οἱ δύο Κανόνες· ὁ α΄ μετὰ τῶν Εἱρμῶν

Κανὼν πρῶτος, Ὠδὴ α΄. Ἦχος α΄. Ὁ εἱρμός.

Πεποικιλμένη τῇ θείᾳ δόξῃ, ἡ ἱερὰ καὶ εὐκλεὴς Παρθένε μνήμη σου, πάντας συνηγάγετο, πρὸς εὐφροσύνην τοὺς πιστούς, ἐξαρχούσης Μαριάμ, μετὰ χορῶν καὶ τυμπάνων, τῷ σῷ ᾄδοντας Μονογενεῖ, ἐνδόξως ὅτι δεδόξασται. (δίς)

Τροπάρια.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἀμφεπονεῖτο ἀΰλων τάξις, οὐρανοβάμων ἐν Σιὼν τὸ θεῖον σῶμά σου· ἄφνω δὲ συῤῥεύσασα, τῶν Ἀποστόλων ἡ πληθύς, ἐκ περάτων Θεοτόκε, σοὶ παρέστησαν ἄρδην· μεθ' ὧν ἄχραντε, σοῦ τὴν σεπτήν, Παρθένε μνήμην δοξάζομεν.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Νικητικὰ μὲν βραβεῖα ἤρω, κατὰ τῆς φύσεως Ἁγνή, Θεὸν κυήσασα· ὅμως μιμουμένη δέ, τὸν ποιητήν σου καὶ Υἱόν, ὑπὲρ φύσιν ὑποκύπτεις, τοῖς τῆς φύσεως νόμοις· διὸ θνήσκουσα, σὺν τῷ Υἱῷ, ἐγείρῃ διαιωνίζουσα..

Κανὼν δεύτερος ᾠδὴ α΄ Ἦχος δ΄ Ἀνοίξω τὸ στόμα μου

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Παρθένοι νεάνιδες, σὺν Μαριὰμ τῇ Προφήτιδι, ᾠδὴν τὴν ἐξόδιον, νῦν ἀλαλάξατε· ἡ Παρθένος γάρ, καὶ μόνη Θεοτόκος, πρὸς λῆξιν

οὐράνιον, διαβιβάζεται.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἀξίως ὡς ἔμψυχον, σὲ οὐρανὸν ὑπεδέξαντο, οὐράνια Πάναγνε, θεῖα σκηνώματα· καὶ παρέστηκας, φαιδρῶς ὡραϊσμένη, ὡς νύμφη πανάμωμος, τῷ Βασιλεῖ καὶ Θεῷ.

και ο παρών της Εικόνος εις δ',

Ἦχος δ'. Ανοίξω το στόμα μου.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Σοφίας Πανάχραντε, τέμενος θείας υπάρχουσα, το άμουσον στόμα μου σοφίας έμπλησον, όπως άσμασιν ισχύω ανυμνήσαι, νυνί των θαυμάτων σου Κόρη τα ένδοξα.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Το πάλαι μεν δύναμιν, πολλαί γυναίκες εποίησαν, συ δε Παναμώμητε πάσας υπέρκεισαι, ως γεννήσασα, Πατρός το σθένος όθεν, αυτώ συνυπάρχουσα ημών μνημόνευε.

Δόξα.

Προέφη επάδων σοι ο ψαλμωδός Παναμώμητε, το πρόσωπόν πλούσιοι σου λιτανεύσουσι˙ νυν δε Δέσποινα, πεπλήρωται τα τούτου, πάντων προσκυνούντων σου, τύπον τον άχραντον.

Καὶ νῦν.

Ελλάς θαυματόβρυτον, Κόρης Εικόνα κατέχουσα, τας πέλας καλέσασα, πόλεις εόρτασον, την υπέρλαμπρον, πανήγυριν συμφώνως, και πίστει προσκύνησον την Αειπάρθενον.

Ὠδὴ γ'. Ὁ εἱρμός.

Ἡ δημιουργική, καὶ συνεκτικὴ τῶν ἁπάντων, Θεοῦ σοφία καὶ δύναμις, ἀκλινῆ ἀκράδαντον, τὴν Ἐκκλησίαν στήριξον Χριστέ· μόνος γὰρ εἶ Ἅγιος, ὁ ἐν ἁγίοις ἀναπαυόμενος.

Ἡ δημιουργική, καὶ συνεκτικὴ τῶν ἁπάντων, Θεοῦ σοφία καὶ δύναμις, ἀκλινῆ ἀκράδαντον, τὴν Ἐκκλησίαν στήριξον Χριστέ· μόνος γὰρ εἶ Ἅγιος, ὁ ἐν ἁγίοις ἀναπαυόμενος.

Τροπάρια.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Γυναῖκά σε θνητήν, ἀλλ' ὑπερφυῶς καὶ Μητέρα, Θεοῦ εἰδότες πανάμωμε, οἱ κλεινοὶ Ἀπόστολοι, πεφρικυίαις ἥπτοντο χερσί, δόξῃ ἀπαστράπτουσαν, ὡς θεοδόχον σκῆνος θεώμενοι.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὑπέφθασε χερσί, ταῖς ὑβριστικαῖς τοῦ αὐθάδους, τομὴν ἡ δίκη ἐπάξασα, τοῦ Θεοῦ φυλάξαντος, τὸ σέβας τῇ ἐμψύχῳ κιβωτῷ, δόξῃ τῆς Θεότητος, ἐν ᾗ ὁ Λόγος σὰρξ ἐχρημάτισεν..

Κανὼν δεύτερος

Ἦχος δ' Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Θνητῆς ἐξ ὀσφύος προαχθεῖσα, τῇ φύσει κατάλληλον Ἁγνή, τὴν ἔξοδον διήνυσας· τεκοῦσα δὲ τὴν

ὄντως ζωήν, πρὸς τὴν ζωὴν μεθέστηκας, τὴν θείαν ἐνυπόστατον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Δῆμος Θεολόγων ἐκ περάτων, ἐξ ὕψους Ἀγγέλων δὲ πληθύς, πρὸς τὴν Σιὼν ἠπείγοντο, παντοδυνάμῳ νεύματι, ἀξιοχρέως Δέσποινα, τῇ σῇ ταφῇ λειτουργήσοντες.

Ωδή γ΄. Ἦχος δ΄

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Τα σα ανυμνούμεν μεγαλεία, απλέτω εν πόθω και χαρά, και γαρ σω Κόρη ρήματι, υπαρκτικώ ελέγξασα, τον θεοκτόνον έδειξας, υιόν φωτός τω βαπτίσματι.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Μορφής σου πανσέπτου ώ Παρθένε, μη φέρουσα ύβρεως βολήν, αισχρού ισμαηλίτιδος, τούτον βαλούσα άνωθεν, λίθω σμικρώ εις πίπτωσιν, των σων θαυμάτων ετέφρωσας.

Δόξα.

Είπερ ο πιστεύων αδιστάκτως, τα έργα ά έπραξε Χριστός, και μείζονα εργάζεται, πώς ουν το θείον τέμενος, εν ώ Θεός εσκήνωσε, μη ενεργείν τα παράδόξα.

Καὶ νῦν.

Μηδείς σκυθρωπάζων απιέτω, ναού της Παρθένου αδελφοί, χύδην γαρ η Πανάχραντος, ως νάματα ιάματα, Εικόνος αυτής άπαντας, ιάται θάττον προχέουσα.

Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις:

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν,...

Κάθισμα.

Ἦχος πλ. δ΄. Την σοφίαν και λόγον.

Της Ελλάδος το κύδος το ευκλεές, Αιτωλίας το σέλας το φωταυγές, απάντων την πρόμαχον, και ταχείαν βοήθειαν, την εκ δεινών χειμώνος, εξαίρουσαν άπαντας, και προς λιμένας όντως, χαράς προσορμίζουσαν, δεύτε ομοφρόνως, εν ωδαίς ετησίοις, υμνήσωμεν λέγοντες, προς αυτήν μετά πίστεως, διάσωσμα του κόσμου Αγνή, πρέσβευε τω σω Υιώ και Θεώ, των πταισμάτων άφεσιν δωρήσασθαι, τοις προσκυνούσιν εν πίστει, την σεπτήν Εικόνα σου.

Δόξα. το αυτό.

Καὶ νῦν. της εορτής.

Ἦχος γ΄ Τὴν ὡραιότητα

Ἐν τῇ Γεννήσει σου, σύλληψις ἄσπορος, ἐν τῇ Κοιμήσει σου, νέκρωσις ἄφθορος, θαῦμα ἐν θαύματι διπλοῦν, συνέδραμε Θεοτόκε· πῶς γὰρ ἡ ἀπείρανδρος, βρεφοτρόφος ἁγνεύουσα; πῶς δὲ ἡ μητρόθεος, νεκροφόρος μυρίζουσα; Διὸ σὺν τῷ Ἀγγέλῳ βοῶμέν σοι· Χαῖρε ἡ Κεχαριτωμένη.

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης...

Κοντάκιον,

Ἦχος γ΄. Η Παρθένος σήμερον.

Εορτήν χαρμόσυνον, επιτελούμεν συν πόθω της σεπτής Εικόνος σου Θεοκυήτορ Παρθένε˙ έχομεν και γαρ αυτήν προσφύγιον μέγα, εύρομεν δεινών απάντων ετοίμην, ρύστιν˙ ανυμνούμέν σου εν πίστει, τα μεγαλεία, Μήτερ του πάντων Θεού.

### Ο Οίκος

Τω ναώ της Παρθένου συνδράμωμεν, τω σεμνείω Πυρσού νυν προσέλθωμεν˙ κακεί θέαμα οψώμεθα φρικτόν και παράδοξον, Εικόνα θείαν της Πανάγνου, χάριτας αποστίλβουσαν, φρικτήν τω είδει, φρικτήν τη θέα˙ ης περ την εύρεσιν Άγγελοι εν ωδαίς παναρμονίοις ανέδειξαν, στύλος τε πύρινος μέχρις ουρανού διήκων, και επί πολύ διαρκέσας εφάνη˙ ταύτην γνωρίζει η Ελλάς πάσα, ωκεανόν των χαρίτων, ποταμόν αέναον των θαυμάτων, θησαυρόν ανέκλειπτον των αγαθών, και πηγήν ιαμάτων ανεξάντλητον˙ διο και χαίρει βοώσα, ανυμνούμνε σου, εν πίστει τα μεγαλεία, Μήτερ του πάντων Θεού.

### Συναξάριον

Τῇ ΚΒ´ τοῦ μηνός Αὐγούστου, μνήμη τοῦ Ἁγίου Μάρτυρος Ἀγαθονίκου καὶ τῶν σὺν αὐτῷ, Ζωτικοῦ, Ζήνωνος, Θεοπρεπίου, Ἀκινδύνου καὶ Σεβηριανοῦ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς Ἁγίας μάρτυρος Ἀνθούσης καὶ Ἀθανασίου Ἐπισκόπου, τοῦ βαπτίσαντος αὐτήν, καὶ Χαρησίμου καὶ Νεοφύτου τῶν οἰκετῶν αὐτῆς.

Τῇ αὐτῇ ἡμέρᾳ, οἱ Ἅγιοι μάρτυρες Εἰρηναῖος, Ὦρ καὶ Ὄροψις ξίφει τελειοῦνται.

Τῇ αὐτῇ ἡμέρᾳ, ἡ Σύναξις τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, ἐν τῷ Πυρσῷ.

Ταῖς τῶν Ἁγίων σου πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς, Αμήν.

### ΚΑΤΑΒΑΣΙΑΙ

Τῆς Κοιμήσεως τῆς Θεοτόκου

Ὠδὴ α´. Ἦχος α´.

Πεποικιλμένη τῇ θείᾳ δόξῃ ἡ ἱερὰ καὶ εὐκλεής, Παρθένε, μνήμη σου πάντας συνηγάγετο πρὸς εὐφροσύνην τοὺς πιστούς, ἐξαρχούσης Μαριὰμ μετὰ χορῶν καὶ τυμπάνων, τῷ σῷ ᾄδοντας μονογενεῖ· Ἐνδόξως ὅτι δεδόξασται.

Ὠδὴ γ´.

Ἡ δημιουργικὴ καὶ συνεκτικὴ τῶν ἁπάντων Θεοῦ σοφία καὶ δύναμις, ἀκλινῆ, ἀκράδαντον τὴν Ἐκκλησίαν στήριξον, Χριστέ· μόνος γὰρ εἶ ἅγιος, ὁ ἐν ἁγίοις ἀναπαυόμενος.

Ὠδὴ δ´.

Ῥήσεις προφητῶν καὶ αἰνίγματα τὴν σάρκωσιν ὑπέφηναν τὴν ἐκ Παρθένου σου, Χριστέ, φέγγος ἀστραπῆς σου εἰς φῶς ἐθνῶν ἐξελεύσεσθαι· καὶ φωνεῖ σοι ἄβυσσος ἐν ἀγαλλιάσει· Τῇ δυνάμει σου δόξα, φιλάνθρωπε.

Ὠδὴ ε´.

Τὸ θεῖον καὶ ἄρρητον κάλλος τῶν ἀρετῶν σου, Χριστέ, διηγήσομαι· ἐξ ἀιδίου γὰρ δόξης συναΐδιον καὶ ἐνυπόστατον λάμψας ἀ-

παύγασμα, παρθενικῆς ἀπὸ γαστρός, τοῖς ἐν σκότει καὶ σκιᾷ σωματωθεὶς ἀνέτειλας ἥλιος.

Ὠδὴ στ΄.

Ἄλιον, ποντογενές, κητῷον ἐντόσθιον πῦρ τῆς τριημέρου ταφῆς σου τὶ προεικόνισμα, οὗ Ἰωνᾶς ὑποφήτης ἀναδέδεικται· σεσωσμένος γάρ, ὡς καὶ προὐπέπωτο, ἀσινὴς ἐβόα· Θύσω σοι μετὰ φωνῆς αἰνέσεως, Κύριε.

Ὠδὴ ζ΄.

Ἰταμῷ θυμῷ τε καὶ πυρὶ θεῖος ἔρως ἀντιταττόμενος τὸ μὲν πῦρ ἐδρόσιζε, τῷ θυμῷ δὲ ἐγέλα, θεοπνεύστῳ λογικῇ τῇ τῶν ὁσίων τριφθόγγῳ λύρᾳ ἀντιφθεγγόμενος μουσικοῖς ὀργάνοις ἐν μέσῳ φλογός· Ὁ δεδοξασμένος τῶν πατέρων καὶ ἡμῶν Θεός, εὐλογητὸς εἶ.

Ὠδὴ η΄.

Αἰνοῦμεν, εὐλογοῦμεν, καὶ προσκυνοῦμεν τὸν Κύριον,

Φλόγα δροσίζουσαν ὁσίους, δυσσεβεῖς δὲ καταφλέγουσαν ἄγγελος Θεοῦ ὁ πανσθενὴς ἔδειξε παισί· ζωαρχικὴν δὲ πηγὴν εἰργάσατο τὴν Θεοτόκον, φθορὰν θανάτου καὶ ζωὴν βλυστάνουσαν τοῖς μέλπουσι· Τὸν δημιουργὸν μόνον ὑμνοῦμεν οἱ λελυτρωμένοι καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὁ διάκονος· Τὴν Θεοτόκον ἐν ὕμνοις μεγαλύνομεν.

Η ΩΔΗ ΤΗΣ ΘΕΟΤΟΚΟΥ

Ἡ Τιμιωτέρα οὐ στιχολογεῖται.

Ὠδὴ θ΄. Ἦχος α΄.

Αἱ γενεαὶ πᾶσαι, μακαρίζομέν σε, τὴν μόνην Θεοτόκον.

Ὁ εἱρμός.

Νενίκηνται τῆς φύσεως οἱ ὅροι, ἐν σοὶ Παρθένε ἄχραντε· παρθενεύει γὰρ τόκος, καὶ ζωὴν προμνηστεύεται θάνατος. Ἡ μετὰ τόκον Παρθένος, καὶ μετὰ θάνατον ζῶσα, σῴζοις ἀεί, Θεοτόκε τὴν κληρονομίαν σου.

Αἱ γενεαὶ πᾶσαι, μακαρίζομέν σε, τὴν μόνην Θεοτόκον.

Νενίκηνται τῆς φύσεως οἱ ὅροι, ἐν σοὶ Παρθένε ἄχραντε· παρθενεύει γὰρ τόκος, καὶ ζωὴν προμνηστεύεται θάνατος. Ἡ μετὰ τόκον Παρθένος, καὶ μετὰ θάνατον ζῶσα, σῴζοις ἀεί, Θεοτόκε τὴν κληρονομίαν σου.

Αἱ γενεαὶ πᾶσαι, μακαρίζομέν σε, τὴν μόνην Θεοτόκον.

Ἐξίσταντο Ἀγγέλων αἱ δυνάμεις, ἐν τῇ Σιὼν σκοπούμεναι, τὸν οἰκεῖον Δεσπότην, γυναικείαν ψυχὴν χειριζόμενον· τῇ γὰρ ἀχράντως τεκούσῃ, υἱοπρεπῶς προσεφώνει· Δεῦρο σεμνή, τῷ Υἱῷ καὶ Θεῷ συνδοξάσθητι.

Αἱ γενεαὶ πᾶσαι, μακαρίζομέν σε, τὴν μόνην Θεοτόκον.

Συνέστειλε χορὸς τῶν Ἀποστόλων, τὸ θεοδόχον σῶμά σου, μετὰ δέους ὁρῶντες, καὶ φωνῇ λιγυρᾷ προσφθεγγόμενοι· Εἰς οὐρανίους θαλάμους, πρὸς τὸν Υἱὸν ἐκφοιτῶσα, σῴζοις ἀεί, Θεοτόκε τὴν κληρονομίαν σου.

Κανὼν δεύτερος.

Ἦχος δ΄. Μεγαλυνάριον, Ἅπας γηγενής,

Ἄγγελοι τὴν Κοίμησιν τῆς Παρθένου, ὁρῶντες ἐξεπλήττοντο,

πῶς ἡ Παρθένος ἀπαίρει, ἀπὸ τῆς γῆς εἰς τὰ ἄνω.

Δεῦτε ἐν Σιών, τῷ θείῳ καὶ πίονι, ὄρει τοῦ ζῶντος Θεοῦ, ἀγαλλιασώμεθα, τὴν Θεοτόκον ἐνοπτριζόμενοι· πρὸς γὰρ τὴν λίαν κρείττονα, καὶ θειοτέραν σκηνήν, ὡς Μητέρα, ταύτην εἰς τὰ Ἅγια, τῶν Ἁγίων Χριστὸς μετατίθησι.

Ἄγγελοι τὴν Κοίμησιν τῆς Παρθένου, ὁρῶντες ἐξεπλήττοντο, πῶς ἡ Παρθένος ἀπαίρει, ἀπὸ τῆς γῆς εἰς τὰ ἄνω.

Δεῦτε οἱ πιστοί, τῷ τάφῳ προσέλθωμεν, τῆς Θεομήτορος, καὶ περιπτυξώμεθα, καρδίας χείλη ὄμματα μέτωπα, εἰλικρινῶς προσάπτοντες· καὶ ἀρυσώμεθα, ἰαμάτων, ἄφθονα χαρίσματα, ἐκ πηγῆς ἀεννάου βλυστάνοντα.

Ἄγγελοι τὴν Κοίμησιν τῆς Παρθένου, ὁρῶντες ἐξεπλήττοντο, πῶς ἡ Παρθένος ἀπαίρει, ἀπὸ τῆς γῆς εἰς τὰ ἄνω.

Δέχου παρ' ἡμῶν, ᾠδὴν τὴν ἐξόδιον, Μῆτερ τοῦ ζῶντος Θεοῦ· καὶ τῇ φωτοφόρῳ σου, καὶ θείᾳ ἐπισκίασον χάριτι· τῷ βασιλεῖ τὰ τρόπαια, τῷ φιλοχρίστῳ λαῷ, τὴν εἰρήνην, ἄφεσιν τοῖς μέλπουσι, καὶ ψυχῶν σωτηρίαν βραβεύουσα.

*Ωδή θ'. Άπας γηγενής.*

Ἄγγελοι τὴν Κοίμησιν τῆς Παρθένου, ὁρῶντες ἐξεπλήττοντο, πῶς ἡ Παρθένος ἀπαίρει, ἀπὸ τῆς γῆς εἰς τὰ ἄνω.

Δεύτε οι πιστοί, εν ώ τεθησαύρισται, η θαυματόβρυτος, Εικών Θεομήτορος, ναώ τω θείω πόθω συνέλθωμεν, τω του Πυρσού και ταύτην νυν κατασπασώμεθα, ιαμάτων άφθονα χαρίσματα, τοις πιστώς προσιούσι παρέχουσιν.

Ἄγγελοι τὴν Κοίμησιν τῆς Παρθένου, ὁρῶντες ἐξεπλήττοντο, πῶς ἡ Παρθένος ἀπαίρει, ἀπὸ τῆς γῆς εἰς τὰ ἄνω.

Έδρα αληθώς, οφθείσα πανάσπιλος του απαυγάσματος, του σελασφόρου Πατρός, ταις τούτου αίγλαις στίλβε Πανάχραντε, σους υμνητάς εξαίρουσα ζόφον τον κάκιστον, της αγνοίας, ίνα σε κηρύττομεν, και ψυχών και σωμάτων σωτήριον.

Δόξα.

Ἄγγελοι τὴν Κοίμησιν τῆς Παρθένου, ὁρῶντες ἐξεπλήττοντο, πῶς ἡ Παρθένος ἀπαίρει, ἀπὸ τῆς γῆς εἰς τὰ ἄνω.

Σώζε πειρασμών, παντοίων τε θλίψεων κόρη μητρόθεε, τους σεβομένους πιστώς, την σην Εικόνα, και της κολάσεως της ζοφεράς εξάρπασον την νεολαίαν σου, και Μονήν σου φύλαττε απήμονα, εις αιώνας την σε μεγαλύνουσαν.

Καὶ νῦν.

Ἄγγελοι τὴν Κοίμησιν τῆς Παρθένου, ὁρῶντες ἐξεπλήττοντο, πῶς ἡ Παρθένος ἀπαίρει, ἀπὸ τῆς γῆς εἰς τὰ ἄνω.

Τήρει αβλαβείς, τους πόθω την μνήμην σου πανηγυρίζοντας, εμόν δε δέξαι Αγνή, τον ύμνον τούτον τον ευτελέστατον, ως ο Υιός σου άσμενος χήρας τα δύο λεπτά, και παράσχου λύσιν των πταισμάτων μου, και ευκλείας της σης με αξίωσον.

Καταβασία. Ὠδὴ θ΄.

Αἱ γενεαὶ πᾶσαι μακαρίζομέν σε
τὴν μόνην Θεοτόκον.

Νενίκηνται τῆς φύσεως οἱ ὅροι ἐν σοί, Παρθένε ἄχραντε· παρθενεύει γὰρ τόκος καὶ ζωὴν προμνηστεύεται θάνατος. Ἡ μετὰ τόκον παρθένος καὶ μετὰ θάνατον ζῶσα, σῴζοις ἀεί, Θεοτόκε, τὴν κληρονομίαν σου.

Συναπτὴ μικρά,
μεθ' ἣν ἐκφώνησις·

Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...

Εξαποστειλάριον·
Ο γλυκασμός των Αγγέλων.

Χορείαι αι της Ελλάδος, και Αιτωλίας τα στίφη, συναθροισθέντες τεμένει, τω εν Πυρσώ της Παρθένου, νυν προσκυνήσωμεν πόθω, αυτής την θείαν Εικόνα (δίς).

Ἦχος γ΄

Ἀπόστολοι ἐκ περάτων, συναθροισθέντες ἐνθάδε, Γεθσημανῇ τῷ χωρίῳ, κηδεύσατέ μου τὸ σῶμα· καὶ σὺ Υἱὲ καὶ Θεέ μου, παράλαβέ μου τὸ πνεῦμα. (ἅπαξ)

ΑΙΝΟΙ

ιστώμεν στίχους η', και ψάλλομεν:
της εορτής δ',

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν· αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ,

Αἰνεῖτε αὐτόν, πάντες οἱ Ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Στίχ. Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον· δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

Ἦχος δ΄ Ὡς γενναῖον ἐν Μάρτυσι

Τῇ ἐνδόξῳ Κοιμήσει σου, οὐρανοὶ ἐπαγάλλονται, καὶ Ἀγγέλων γέγηθε τὰ στρατεύματα· πᾶσα ἡ γῆ δὲ εὐφραίνεται, ᾠδὴν σοι ἐξόδιον προσφωνοῦσα τῇ Μητρί, τοῦ τῶν ὅλων δεσπόζοντος, ἀπειρόγαμε, Παναγία Παρθένε, ἡ τὸ γένος τῶν ἀνθρώπων ῥυσαμένη, προγονικῆς ἀποφάσεως.

Στίχ. Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς Ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Τῇ ἐνδόξῳ Κοιμήσει σου, οὐρανοὶ ἐπαγάλλονται, καὶ Ἀγγέλων γέγηθε τὰ στρατεύματα· πᾶσα ἡ γῆ δὲ εὐφραίνεται, ᾠδὴν σοι ἐξόδιον προσφωνοῦσα τῇ Μητρί, τοῦ τῶν ὅλων δεσπόζοντος, ἀπειρόγαμε, Παναγία Παρθένε, ἡ τὸ γένος τῶν ἀνθρώπων ῥυσαμένη, προγονικῆς ἀποφάσεως.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Ἐκ περάτων συνέδραμον, Ἀποστόλων οἱ πρόκριτοι, θεαρχίῳ νεύματι τοῦ κηδεῦσαί σε, καὶ ἀπὸ γῆς αἰρομένην σε, πρὸς ὕψος θεώμενοι, τὴν φωνὴν τοῦ Γαβριήλ, ἐν χαρᾷ ἀνεβόων σοι· Χαῖρε ὄχημα, τῆς θεότητος ὅλης· χαῖρε μόνη,

τὰ ἐπίγεια τοῖς ἄνω, τῷ τοκετῷ σου συνάψασα.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Τὴν ζωὴν ἡ κυήσασα, πρὸς ζωὴν μεταβέβηκας, τῇ σεπτῇ Κοιμήσει σου τὴν ἀθάνατον, δορυφορούντων Ἀγγέλων σοι, Ἀρχῶν καὶ Δυνάμεων, Ἀποστόλων Προφητῶν, καὶ ἁπάσης τῆς κτίσεως, δεχομένου τε, ἀκηράτοις παλάμαις τοῦ Υἱοῦ σου, τὴν ἀμώμητον ψυχήν σου, Παρθενομῆτορ Θεόνυμφε.

και της Εικόνος δ΄.

Ἦχος β΄, Ὅτε εκ του ξύλου σε νεκρόν.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Ότε ασεβείας η πηγή, έβλυσε δυσώδης εξ άδου, όζουσα πάντας δεινώς, τότε ευωδέστατον κρίνον Τριάδος σεπτής, Παναγία Θεόνυμφε του χεύματος ταύτης, ρύουσα Ελλάδα τε, αυτή αρρήτως την σην, δέδωκας Εικόνα ήν κρήνην, δείξασ' ακεσώδυνον πάσι, χορηγείς κατ' άμφω τα ιάματα.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Τέρπου ώ Ελλάς πνευματικώς, και αγαλλομένη εν κόλποις, μορφήν κατέχουσα, Κόρης επισκίρτησον, ασματικαίς εν ωδαίς, και τρυγώσα τα κρείττονα˙ ψυχή και καρδία δεύτε προσκυνήσωμεν, την θαυματόβρυτον, κράζοντες ημάς περιφρούρει, θλίψεως παντοίας και βλάβης, ταις σαις μητρικαίς νυν παρακλήσεσι.

Στίχ. Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.

Ώσπερ ευεργέτις προσηνής, και θερμή προστάτις των πίστει προσκαλουμένων σε, ούτω περ αντίπαλος, ώφθης Παρθένε αγνή, τουναντίον και άσπονδος, εχθρός και ταχεία, τοις κατατολμούσί σου πάσιν εκδίκησις˙ ρύσαι τοιγαρούν σους οικέτας, της των σων εχθρών δυναστείας, καταπιεζούσης χαλεπώτατα.

Στίχ. Το πρόσωπόν σου λιτανεύσουσιν οι πλούσιοι του λαού..

Κρήνη των θαυμάτων αληθώς, ώφθης καταρδεύουσα πάντας, τους προσιόντας σοι, ώ Εικών πανσέβαστε, νόσους διώκεις και γαρ, ανιάτους και δαίμονας, δεινούς απελαύνεις, φωτίζεις τυφλώττοντας, πάντα σοβείς τα δεινά˙ όθεν και παράλυτοι πάντες,και οι κρημνισθέντες συν στείραις, σε ομολογούσιν αυτών λύτρωσιν.

Δόξα, Ἦχος πλ. δ΄.

Τίς λαλήσει τας δυναστείας σου Αγνή; Ή τίς αν εξυμνήσοι της Εικόνος σου την χάριν; Πάσι γαρ τοις προσιούσιν αυτή, ψυχών τε και σωμάτων αφθόνως χορηγείς τα ιάματα, ως ανεξάντλητος πηγή˙ δι' ο ουκ απεικότως νειλώοις νάμασιν, ή ρεύμασιν ωκεανείοις, Ιορδάνου τε χεύμασι, και άλλοις

προσομοίοις παρεικάσειέ τις ταύτα˙ τα πάντα γαρ δυναμένη, ως του Παντοδυνάμου Μήτηρ, και δια της σης Εικόνος τα πάντα κατεργάζη˙ αλλά γαρ και την ποίμνην σου ταύτην, Μητροπάρθενε περιφρουρούσα, και των προσερχομένων εν αυτή πιστών εκάστω χαρίζου Παντάνασσα τα αιτήματα.

Καὶ νῦν... *της Εορτής.*
*Ἦχος πλ. β´*

Τῇ ἀθανάτῳ σου Κοιμήσει, Θεοτόκε Μήτηρ τῆς ζωῆς, νεφέλαι τοὺς Ἀποστόλους, αἰθερίους διήρπαζον· καὶ κοσμικῶς διεσπαρμένους, ὁμοχώρους παρέστησαν τῷ ἀχράντῳ σου σώματι· οἳ καὶ κηδεύσαντες σεπτῶς, τὴν φωνὴν τοῦ Γαβριήλ, μελῳδοῦντες ἀνεβόων· Χαῖρε κεχαριτωμένη, Παρθένε Μήτηρ ἀνυμφευτε, ὁ Κύριος μετὰ σοῦ. Μεθ´ ὧν ὡς Υἱόν σου καὶ Θεὸν ἡμῶν, ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Δοξολογία Μεγάλη*
*εἰς ἦχον α´ ( Ἀργή ἢ σύντομος )*

Δόξα σοι τῷ δείξαντι τὸ φῶς. Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ᾽ ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν, ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα´ Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς

γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός,

Ἅγιος Ἰσχυρός,

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

*Ἦχος β΄*
*καὶ εὐθύς τὸ ἀπολυτίκιον*
*Ἦχος α΄ Τῆς Συνόδου τῆς πρώτης.*

Της Ελλάδος απάσης συ προΐστασαι πρόμαχος και τερατουργός εξαισίων τη εκ Προύσης Εικόνι σου. Πανάχραντε Παρθένε Μαριάμ, και γαρ φωτίζεις εν τάχει τους τυφλούς, δεινούς τε απελαύνεις δαίμονας, και παραλύτους δε συσφίγγεις αγαθή, κρημνών τε σώζεις και πάσης βλάβης τους σοι προστρέχοντας· δόξα τω σω ασπόρω τοκετώ, δόξα τω σε θαυμαστώσαντι, δόξα τω ενεργούντι δια σου τοιαύτα θαύματα.

## ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

*Ὁ διάκονος τὰ εἰρηνικὰ*
*καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·*

Ὅτι πρέπει σοι πᾶσα δόξα...

*Ἀντίφωνα τῆς Ἑορτῆς.*

*Ἀντίφωνον Α΄. Ἦχος β΄. (Ἐκλογή).*

*Στίχ. α΄.* Ἀλαλάξατε τῷ Θεῷ πᾶσα ἡ γῆ, δουλεύσατε τῷ Κυρίῳ ἐν εὐφροσύνῃ, εἰσέλθετε ἐνώπιον αὐτοῦ ἐν ἀγαλλιάσει. (Ϥθ΄ 1-2)

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, * Σῶτερ, σῶσον ἡμᾶς.

*Στίχ. β΄.* Ἐξομολογεῖσθε αὐτῷ, αἰνεῖτε τὸ ὄνομα αὐτοῦ. (Ϥθ΄ 14)

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

*Στίχ. γ΄.* Καθάπερ ἠκούσαμεν, οὕτω καὶ εἴδομεν, ἐν πόλει Κυρίου τῶν δυνάμεων, ἐν πόλει τοῦ Θεοῦ ἡμῶν. (μζ΄ 9)

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

*Στίχ. δ΄.* Ἐγενήθη ἐν εἰρήνῃ ὁ τόπος αὐτοῦ καὶ τὸ κατοικητήριον αὐτοῦ ἐν Σιών. (οε΄ 3)

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Δόξα. Καὶ νῦν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

*Ὁ διάκονος τὴν μικρὰν συναπτὴν*
*καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·*

Ὅτι σὸν τὸ κράτος...

*Ἀντίφωνον Β΄. Ἦχος β΄.*

*Στίχ. α΄.* Ἀγαπᾷ Κύριος τὰς πύλας Σιὼν ὑπὲρ πάντα τὰ σκηνώματα Ἰακώβ. (πστ΄ 2)

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν ἁγίοις θαυμαστός, ψάλλοντάς σοι, Ἀλληλούϊα.

*Στίχ. β΄.* Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ Θεοῦ. (πστ΄

3)

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν ἁγίοις ...

Στίχ. γ΄. Ὁ Θεὸς ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα. (μζ΄ 9)

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν ἁγίοις ...

Στίχ. δ΄. Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ· ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος. (με΄ 5)

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν ἁγίοις ...

Δόξα. Καὶ νῦν.

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων καὶ καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, εἷς ὢν τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

Ὁ διάκονος τὴν μικρὰν συναπτὴν καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος...

Ἀντίφωνον Γ΄. Ἦχος α΄. (Ἐκλογή).

Στίχ. α΄. Ἑτοίμη ἡ καρδία μου, ὁ Θεός, ἑτοίμη ἡ καρδία μου, ᾄσομαι καὶ ψαλῶ ἐν τῇ δόξῃ μου. (ρζ΄ 2)

Ἐν τῇ γεννήσει τὴν παρθενίαν...

Στίχ. β΄. Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκέ μοι; (ριε΄ 3)

Ἐν τῇ γεννήσει τὴν παρθενίαν...

Στίχ. γ΄. Ὦ Κύριε, ἐγὼ δοῦλος σός, ἐγὼ δοῦλος σὸς καὶ υἱὸς τῆς παιδίσκης σου, διέρρηξας τοὺς δεσμούς μου. (ριε΄ 7)

Ἐν τῇ γεννήσει τὴν παρθενίαν...

ΜΙΚΡΑ ΕΙΣΟΔΟΣ

Εἰσοδικόν. Ἦχος β΄.

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν ἁγίοις θαυμαστός, ψάλλοντάς σοι, Ἀλληλούϊα.

Ἀπολυτίκια

Ἦχος α΄ Τῆς Συνόδου τῆς πρώτης.

Της Ελλάδος απάσης συ προΐστασαι πρόμαχος, και τερατουργός εξαισίων τη εκ Προύσης Εικόνι σου, Πανάχραντε Παρθένε Μαριάμ και γαρ φωτίζεις εν τάχει τους τυφλούς, δεινούς τε απελαύνεις δαίμονας, και παραλύτους δε συσφίγγεις αγαθή˙ κρημνών τε σώζεις και πάσης βλάβης τους σοι προστρέχοντας˙ δόξα τω σω ασπόρω τοκετώ, δόξα τω σε θαυμαστώσαντι, δόξα τω ενεργούντι δια σου τοιαύτα τέρατα.

Τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς. Ἦχος α΄.

Ἐν τῇ Γεννήσει, τὴν παρθενίαν ἐφύλαξας. Ἐν τῇ Κοιμήσει, τὸν κόσμον οὐ κατέλιπες Θεοτόκε. Μετέστης πρὸς τὴν ζωήν, Μήτηρ ὑπάρχουσα τῆς ζωῆς καὶ ταῖς πρεσβείαις ταῖς σαῖς λυτρουμένη, ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον τῆς ἑορτῆς.

Ἦχος β΄. Αὐτόμελον.

Τὴν ἐν πρεσβείαις * ἀκοίμητον Θεοτόκον καὶ προστασίαις ἀμετάθετον ἐλπίδα τάφος καὶ νέκρωσις οὐκ ἐκράτησεν· ὡς γὰρ ζωῆς μητέρα πρὸς τὴν ζωὴν μετέστησεν ὁ

μήτραν οἰκήσας ἀειπάρθενον.

Τρισάγιον Ἀποστόλου

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.(γ´)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δύναμις.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἀπόστολος τῆς Θεοτόκου

(21 Νοεμβρ.Εβρ. Θ᾽1-7)

Προκείμενον. Ἦχος γ´

Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

Στίχ. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τό Ἀνάγνωσμα (θ᾽ 1-7)

Ἀδελφοί, εἶχεν ἡ πρώτη σκηνὴ δικαιώματα λατρείας τό τε Ἅγιον κοσμικόν. Σκηνὴ γὰρ κατεσκευάσθη ἡ πρώτη ἐν ᾗ ἥ τε λυχνία καὶ ἡ τράπεζα καὶ ἡ πρόθεσις τῶν ἄρτων, ἥτις λέγεται Ἅγια. Μετὰ δὲ τὸ δεύτερον καταπέτασμα σκηνὴ ἡ λεγομένη Ἅγια Ἁγίων, χρυσοῦν ἔχουσα θυμιατήριον καὶ τὴν κιβωτὸν τῆς διαθήκης περικεκαλυμμένην πάντοθεν χρυσίῳ, ἐν ᾗ στάμνος χρυσῆ ἔχουσα τὸ μάννα καὶ ἡ ῥάβδος Ἀαρὼν ἡ βλαστήσασα καὶ αἱ πλάκες τῆς διαθήκης, ὑπεράνω· δὲ αὐτῆς Χερουβὶμ δόξης κατασκιάζοντα τὸ ἱλαστήριον· περὶ ὧν οὐκ ἔστι νῦν λέγειν κατὰ μέρος. Τούτων δὲ οὕτω κατεσκευασμένων εἰς μὲν τὴν πρώτην σκηνὴν διὰ παντὸς εἰσίασιν οἱ ἱερεῖς τὰς λατρείας ἐπιτελοῦντες, εἰς δὲ τὴν δευτέραν ἅπαξ τοῦ ἐνιαυτοῦ μόνος ὁ ἀρχιερεύς, οὐ χωρὶς αἵματος, ὃ προσφέρει ὑπὲρ ἑαυτοῦ καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων.

Ομοίως και Ευαγγέλιον,

Τω καιρώ εκείνω, εισήλθεν ο Ιησούς Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Ἱεροῦ Χρυσοστόμου.

Εἰς τό·Ἐξαιρέτως τῆς Παναγίας...

Ὁ εἱρμὸς θ´ᾠδῆς τοῦ α´κανόνος.

Ἦχος α´.

Αἱ γενεαὶ πᾶσαι, μακαρίζομέν σε, τὴν μόνην Θεοτόκον.

Νενίκηνται τῆς φύσεως οἱ ὅροι, ἐν σοὶ Παρθένε ἄχραντε· παρθενεύει γὰρ τόκος, καὶ ζωὴν προμνηστεύεται θάνατος. Ἡ μετὰ τόκον Παρθένος, καὶ μετὰ θάνατον ζῶσα, σῴζοις ἀεί, Θεοτόκε τὴν κληρονομίαν σου.

Κοινωνικόν. Ἦχος δ´.

Ποτήριον σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι. Ἀλληλούϊα.

Μετὰ τὴν μετάδοσιν. Ἦχος β´.

ἦχος β᾽

Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες, αὕτη γὰρ ἡμᾶς ἔσωσεν.

Ἀμὴν ἀμὴν ἀμὴν, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν τὴν αἰώνιον.

Πληρωθήτω τὸ στόμα ἡμῶν αἰνέσεώς Κύριε, ὅπως ὑμνήσωμεν τὴν δόξαν σου, ὅτι ἠξίωσας ἡμᾶς τῶν ἁγίων σου μετασχεῖν μυστηρίων· τήρησον ἡμᾶς ἐν τῷ σῷ ἁγιασμῷ, ὅλην τὴν ἡμέραν μελετᾶν τὴν δικαιοσύνην σου. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

Μετὰ τὴν ὀπισθάμβωνον εὐχήν.
Ἦχος β΄.

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπό τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. (τρὶς)

Ἀπόλυσις

Ἡ Μεταφορὰ Κειμένων
Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη
στὸν Ι.Ν. Ἁγίου Γεωργίου
Κουλούρας Βέροιας.